UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Universitätsbibliothek Paderborn

## Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

**Eusebius <Caesariensis>**

**Mogvntiae, 1672**

In Qvinto Historiae Ecclesiasticae Libro haec continentur.

**urn:nbn:de:hbz:466:1-14478**

Visual Library

Τάδε καὶ ἡ πέμπτη περιέχει βίβλος τῆς ἐκκλησιαστικῆς ἱστορίας.


α' Ὅσοι καὶ ὅπως κατὰ Οὐῆρον ἐπὶ τῆς Γαλλίας τὸν ὑπὲρ τῆς εὐσεβείας διεξῆλθον ἀγῶνα.
β' Ὡς οἱ θεοφιλεῖς μάρτυρες τοὺς ἐν τῷ διωγμῷ διαπεπτωκότας ἐθεράπευον δι-(ξιάμενοι.
γ' Ὁποία τῷ μάρτυρι Ἀττάλῳ δι' ὀνείρου γέγονεν ἐπιφάνεια.
δ' Ὅπως οἱ μάρτυρες τὸν Εἰρηναῖον δι' ἐπιστολῆς παρετίθεντο.
ε' Ὡς Μάρκῳ Αὐρηλίῳ Καίσαρι ταῖς τῶν ἡμετέρων εὐχαῖς οὐρανόθεν ὁ Θεὸς ἐπακούσας ὕσεν.
ϛ' Τῶν ἐπὶ Ῥώμης Ἐπισκοπευσάντων κατάλογος.
ζ' Ὡς καὶ μέχρι τῶν τότε καιρῶν διὰ τῶν πιστῶν δυνάμεις ἐνηργοῦντο παράδοξοι.
η' Ὅπως ὁ Εἰρηναῖος τῶν θείων μνημονεύει γραφῶν.
θ' Οἱ κατὰ Κόμμοδον ἐπισκοπεύσαντες.
ι' Περὶ Πανταίνου τοῦ φιλοσόφου.
ια' Περὶ Κλήμεντος τοῦ Ἀλεξανδρέως.
ιβ' Περὶ τῶν ἐν Ἱεροσολύμοις Ἐπισκόπων.
ιγ' Περὶ Ῥόδωνος καὶ ἧς ἐμνημόνευσεν κατὰ Μαρκίωνα διαφωνίας.
ιδ' Περὶ τῶν κατὰ Φρύγας ψευδοπροφητῶν.
ιε' Περὶ τοῦ κατὰ Βλάστον ἐπὶ Ῥώμης γενομένου σχίσματος.
ιϛ' Ὅσα περὶ Μοντανοῦ καὶ τῶν σὺν αὐτῷ ψευδοπροφητῶν μνημονεύεται.
ιζ' Περὶ Μιλτιάδου καὶ ὧν συνέταξε λόγων.
ιη' Ὅσα καὶ Ἀπολλώνιος τοὺς κατὰ Φρύγας ἀπήλεγξε, καὶ τίνων ἐμνημόνευσεν.
ιθ' Σεραπίωνος περὶ τῆς τῶν Φρυγῶν αἱρέσεως.
κ' Ὅσα Εἰρηναῖος τοῖς ἐπὶ τῆς Ῥώμης σχισματικοῖς ἐγγράφως διείλεκται.
κα' Ὅπως ἐπὶ Ῥώμης Ἀπολλώνιος ἐμαρτύρησεν.
κβ' Τίνες κατὰ τούσδε τοὺς χρόνους Ἐπίσκοποι ἐγνωρίζοντο.
κγ' Περὶ τοῦ τότε κινηθέντος ἀμφὶ τοῦ Πάσχα ζητήματος.
κδ' Περὶ τῆς κατὰ τὴν Ἀσίαν διαφωνίας.
κε' Ὅπως τοῖς πᾶσι μία ψῆφος περὶ τοῦ Πάσχα συνεφωνήθη.
κϛ' Ὅσα τῆς Εἰρηναίου φιλοκαλίας εἰς ἡμᾶς ὑπομνήματα κατῆλθεν.
κζ' Ὅσα καὶ τῶν λοιπῶν τῶν τηνικάδε συνηκμακότων.
κη' Περὶ τῶν τὴν Ἀρτέμωνος αἵρεσιν ἐξ ἀρχῆς προβεβλημένων, οἷοί τε τὸν τρόπον γεγόνασι, καὶ ὅπως τὰς ἁγίας γραφὰς διαφθεῖραι τετολμήκασιν.


---

## IN QUINTO HISTORIÆ ECCLESIASTICÆ LIBRO hæc continentur.


I. Quot in Galliis & quomodo pro pietate occubuerint imperante Vero.
II. Quemadmodum Deo dilecti martyres lapsis in persecutione manum porrigentes curationem adhibuerint.
III. Cujusmodi visio martyri Attalo in somnis divinitus missa apparuit.
IV. Quomodo martyres Irenæum epistola sua commendaverint.
V. Quomodo M. Aurelio Cæsari Deus nostrorum precibus exauditis pluviam præstitit.
VI. Enumeratio episcoporum urbis Romæ.
VII. Quòd ad illa usque tempora per fideles miracula patrabantur.
VIII. Qualiter Irenæus divinorum librorum mentionem fecerit.
IX. Quinam episcopi fuerint Commodi Principatu.


X. De

X. De Pantæno Philosopho.
XI. De Clemente Alexandrino.
XII. De Hierosolymorum Episcopis.
XIII. De Rhodone & de Marcionitarum dissensione ab eo commemorata.
XIV. De falsis Prophetis Cataphrygarum.
XV. De Blasti schismate quod factum est Romæ.
XVI. Quæ de Montano & de falsis illius Prophetis memorantur.
XVII. De Miltiade & de Scriptis illius.
XVIII. Quemadmodum Apollonius Cataphrygas confutaverit, & quorum mentionem fecerit.
XIX. Serapionis sententia de Cataphrygarum hæresi.
XX. Quæ Irenæus adversus Schismaticos Romæ agentes conscripserit.
XXI. Quomodo Apollonius Romæ martyrium passus est.
XXII. Quinam eo tempore Episcopi inclaruerint.
XXIII. De quæstione quæ tunc temporis agitata est super Pascha.
XXIV. De dissensione Ecclesiarum Asiæ.
XXV. Quomodo omnes in unam eandemque sententiam de die Paschæ concessere.
XXVI. Quot Irenæus elegantis ingenii monumenta nobis reliquit.
XXVII. Quot etiam ceteri qui eodem tempore floruerunt.
XXVIII. De his qui Artemonis hæresim initio sectati sunt, cujusmodi moribus præditi, & quomodo sacras Scripturas depravare ausi fuerint.


# ΕΥΣΕΒΙΟΥ ΤΟΥ ΠΑΜΦΙΛΟΥ,

Ἐκκλησιαστικῆς ἱστορίας

Λόγος ε᾽.

## ΠΡΟΟΙΜΙΟΝ.

A Ὁ μὲν οὖν τῆς Ῥωμαίων ἐκκλησίας ἐπίσκοπος Σωτὴρ ἐπὶ ὄγδοον ἔτος ἡγησάμενος, τελευτᾷ τὸν βίον. τοῦτον δωδέκατος ἀπὸ τῶν Ἀποστόλων Ἐλεύθερος διαδέχεται ἔτος δ᾽ ἦν ἑπτακαιδέκατον αὐτοκράτορος Ἀντωνίνου Οὐήρου, ἐν ᾧ κατά τινα μέρη τῆς γῆς σφοδρότερον ἀναῤῥιπισθέντος τοῦ καθ᾽ ἡμῶν διωγμοῦ ἐξ ἐπιθέσεως τῶν κατὰ τὰς πόλεις δήμων, μυριάδας μαρτύρων ἀνὰ τὴν οἰκουμένην διαπρέψαι στοχασμῷ λαβεῖν ἔνεστιν, ἀπὸ τῶν καθ᾽ ἓν ἔθνος συμβεβηκότων· ἃ καὶ γραφῇ τοῖς μετέπειτα παραδοθῆναι, ἀλήστου μνήμης ὡς ἀληθῶς ἐπάξια ὄντα, συμβέβηκε. τῆς μὲν οὖν περὶ τούτων ἐντελεστάτης ὑφηγήσεως τὸ πᾶν σύγγραμμα, τῇ τῶν μαρτύρων ἡμῖν κα-

# EVSEBII PAMPHILI

ECCLESIASTICÆ HISTORIÆ

# LIBER QUINTUS.

## *PROOEMIUM.*

IGitur Sotere Romanæ urbis Episcopo post octavum Episcopatus annum vita functo, duodecimus ab Apostolis Eleutherus in ejus locum successit. Annus tunc agebatur septimus decimus Imperii Antonini Veri. Quo tempore cùm in nonnullis terrarum partibus violentior adversus nostros persecutio commota esset ex incursione popularium, innumerabiles prope martyres per universum orbem enituisse, ex iis quæ in unica Provincia contigerunt, conjicere est. Quæ quidem utpote immortali memoria dignissima, literarum monumentis commendata & ad posteros transmissa sunt. Et acta quidem ipsa quibus plenissima harum rerum narratio continetur, in opere de martyribus integra à nobis inserta sunt: Ex quibus non solùm cogni-